ὄντος, καθ' ὃ μηδὲν ἄλλο ἐστὶν, ἥπερ ἡ τῆς στερήσεως ἀποβολὴ, ἡ δὲ θατέρου τῶν ἐναντίων ἐξώθησις ἐστὶ, κυρίως οὖσα τυγχάνει μεταβολή. πρὸς τὸ τρίτον δὲ φαμὲν, ὅτι ἡ φθορὰ βίαιος λέγεται, ὡς ἀντίκειται τῇ κατὰ φύσιν φθορᾷ. ἡ μὲν γὰρ ἔξωθεν βίᾳ γίνεται, ἡ δὲ ἐξ ἐνδογενοῦς αἰτίας οὐ βίᾳ. πρὸς δὲ τοὺς φάσκοντας ὅτι καὶ πρὸς τὴν φθορὰν ἡ φύσις ἁπλῶς ἀφορᾷ, ἀπαντητέον ὡς οὐκ ἀληθές ἐστι τοῦ μέσου καθ' ἑαυτὸ στοχαστικὴν εἶναι τὴν φύσιν, ἀλλ' ἕνεκα τοῦ τέλους. ἐπειδὴ τοιγαροῦν ποριστικὴ τοῦ εἴδους ἡ γένεσις, ταύτης ἡ φύσις ἡγουμένως ὀρέγεται, ἑπομένως δὲ καὶ κατὰ συμβεβηκὸς τῆς φθορᾶς, ὡς συντεινούσης εἰς ἀντιποίησιν τοῦ τέλους, καίτοι μὴ καθ' ἑαυτὴν, ἀλλὰ διὰ τῆς συμπαρομαρτούσης αὐτῇ γενέσεως. ὅτι δὲ οὐχ ἧττον ἐκ τῆς φθορᾶς ἢ τῆς γενέσεως ἡ τοῦ παντὸς ἀναφύεται διακόσμησις, ἀληθὲς μὲν, οὔτοιγε ἁπλῶς, ἀλλ' ἐκ μὲν τῆς γενέσεως καθ' ἑαυτὸ, κατὰ συμβεβηκὸς δὲ ἐκ τῆς φθορᾶς. ἀληθὲς γὰρ ὅτι ἡ φθορὰ αἰσχρόν τι ἐστὶν, οὐ μὴν διὰ τοῦτο ἄτοπον, καὶ ἀπεμφαῖνον ἐστὶν ἐπ' αὐτῇ ἱδρῦσθαι τὴν τοῦ εἴδους διαδοχὴν, καὶ τὴν τοῦ παντὸς τελειότητα. καὶ γὰρ ἡ στέρησις, καὶ ἡ ἀναίρεσις, ὡς μὲν ἀποφάσεις αἰσχραὶ λέγονται, καθὸ δὲ τὴν δύναμιν ὑποτιθέασιν εἰς ὑποδοχὴν ὄντος, ἢ προβολὴν ἐνεργείας, ἄριστα συντείνειν λέγεται εἰς τελειότητα. εἶτα ποσημόρειον ἐστὶ τὰ γεννητὰ καὶ φθαρτὰ τῶν ἀγεννήτων, ὥστε δεδιέναι, μὴ τὴν τοῦ παντὸς διακόσμησιν ἐρηρεῖσθαι σαθρῷ θεμελίῳ. καὶ ταῦτα μὲν ἀποχρώντως περὶ τοῦ προτεθέντος ζητήματος. λάβωμεν δὲ τὸ δεύτερον κεφάλαιον ἐς χεῖρας.

# ΠΑΡΑΦΡΑΣΙΣ

## ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΚΕΦΑΛΑΙΟΥ.

### Ὅτι ἀδύνατον εἶναι τὴν γένεσιν σύγκρισιν οἷαν δή τινες φασι.

ΚΑὶ ταῦτα μὲν ὡς εἴρηται τῆς πάλαι τοῖς τε μὴ διακρίνουσι γένεσιν ἀλλοιώσεως, καὶ τοῖς δοκοῦσιν ἀφορίσασθαι ταύτας τὰς κινήσεις. ἡμεῖς δὲ σκεψώμεθα τί λεκτέον ἐστὶν ὅλως καὶ ἀκριβῶς περὶ γενέσεως, καὶ φθορᾶς τῆς ἁπλῆς, οἷον πότερον ἐστὶν, ἢ οὐκ ἔστιν, καὶ πῶς ἐστι. ἄριστα γὰρ τοῖς ζητήμασι τούτοις ἐξακριβοῦται ἡ περὶ τούτων ἔρευνα. δεύτερον δὲ καὶ περὶ τῶν ἄλλων ἁπλῶν κινήσεων, οἷον περὶ αὐξή-

σεως καὶ ἀλλοιώσεως. Πλάτων μὲν οὖν μόνον περὶ γενέσεως ἐσκέψατο καὶ φθορᾶς. καὶ ταῦτα παρεωρακὼς τὴν τοῦ τί ἐστι σκέψιν, ἀλλὰ μόνον θεωρήσας ὅπως ὑπάρχει τοῖς πράγμασι, καὶ πάλιν περὶ γενέσεως οὐ πάσης, ἀλλὰ τῆς τῶν στοιχείων μόνον, πῶς δὲ σάρκες, ἢ ὀστᾶ, ἢ τῶν ἄλλων δὴ τῶν τοιούτων συνθέτων οὐδὲν ἀπεφήνατο καταλλήλως τῷ περὶ τῆς γενέσεως λόγῳ. τὰ μὲν γὰρ στοιχεῖα ἐξ ἐπιπέδων γεννᾷ τριγώνων, ἐπὶ δὲ τῆς τῶν μικτῶν γενέσεως οὐδὲν ὑπομιμνήσκει τῶν ἐπιπέδων, ὡς εἰκὸς ἦν ποιῆσαι τῷ παρεμφερῶς φιλοσοφοῦντι, ἀλλ' ἀπίθαν' ἄττα καὶ οὐδενὸς ἄξια λόγου αἰτιᾶται. ἔτι δὲ περὶ ἀλλοιώσεως καὶ αὐξήσεως, οὐδὲ τίνα τρόπον ὑπάρχει τοῖς ἀλλοιουμένοις καὶ αὐξομένοις ἐδίδαξεν, οὐ μόνον δὲ Πλάτων, ἀλλ' ὅλως οὐδείς, παρὰ τὰ ἐπὶ πολῆς, περὶ οὐδενὸς τῶν τοιούτων ἐπέστησεν, ἢ διώρισε. καίτοιγε δοκοῦσι περὶ αὐξήσεως εἰρηκέναι τινές, ἀλλὰ τοσοῦτον μόνον, ὅ,τι κἂν ὁ τυχὼν εἴποι, ὅτι προσιόντος αὐξάνεται τῷ ὁμοίῳ, πῶς δὲ πρόσεισι μεταβαλλόμενον, ἢ παρατιθέμενον, οὐκ ἔτι λέγουσιν, ἀλλ' οὐδὲ περὶ μίξεως, οὐδὲ περὶ τῶν ἄλλων οὐδενός, τῶν εἰς τὰς μεταβολὰς ἀναγκαίων, ὡς εἰπεῖν οὕτως. ἃ γὰρ περὶ τούτων εἰρήκεισαν οὐδενὸς ἄξια λόγου φαίνεται. οὐδὲ ὅλως ἀναπτύσσουσι περὶ τοῦ ποιεῖν, ἢ πάσχειν, τίνα τρόπον τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει τὰς φυσικὰς ποιήσεις, εἰ μὴ Δημόκριτος. οὗτος γὰρ ἔοικε περὶ ἁπάντων πεφροντικέναι. ἀλλ' ἤδη διαφέρει κατὰ τὸν τρόπον ἡμῶν, καὶ πόῤῥω τῆς ἀληθείας πλανᾶται. οὗτος γὰρ καὶ Λεύκιππος τὰ σχήματα ποιήσαντες ἀρχὰς γενέσεως, τὴν ἀλλοίωσιν καὶ τὴν γένεσιν ἐκ τούτων ὁρίζουσι, διακρίσει μὲν καὶ συγκρίσει γένεσιν, καὶ φθορὰν ποιοῦντες, μετατάξει δὲ καὶ μεταθέσει τὴν ἀλλοίωσιν. ἐπειδὴ γὰρ ᾤοντο τὸ ἀληθὲς ἐν τῷ φαίνεσθαι, καὶ πᾶσαν φαντασίαν ἔλεγον ἀληθῆ, αὐτὰ δὲ τὰ φαινόμενα ἐναντία, καὶ ἄπειρα εἰσί, διὰ τοῦτο καὶ τὰ σχήματα ἄπειρα ἐποίησαν, ὥστε τὴν φαινομένην μεταβολὴν ἀλλοίωσιν εἶναι, ταύτην δὲ συμβαίνειν τῇ μετακινήσει τῶν συντεθεισῶν ἀτόμων. μεταβάλλοντος γὰρ τοῦ συγκειμένου, καὶ συντεθέντος, καὶ μεταλλάττοντος τὴν θέσιν, ἢ τάξιν, ἢ τὸ διάστημα, καὶ τὴν πρὸς τοὺς ὁρῶντας σχέσιν ἀμείβοντος, καὶ μὴ παρέχοντος τὴν αὐτὴν φαντασίαν, τὸ αὐτὸ σύνθετον δοκεῖ ἄλλο καὶ ἄλλο. πρὸς δὲ λέγουσιν ἀλλοιοῦσθαι, καὶ μετακινεῖσθαι μικροῦ συντεθέντος, καὶ ἐμμιγνυμένου, καὶ ὅλως μεταβάλλεσθαι, καὶ ἕτερον φαίνεσθαι, ἑνὸς ἀποῤῥυέντος, οἷον συνεστώσης τῆς γῆς ἐκ κυβικῶν ἀτόμων, ταύτην ἀλλοιοῦσθαι φάσκουσι σμικροῦ πλήθους ἀτόμων ἀποβαλλομένου τῶν κυβικῶν, ἢ προσελθόντων τῶν σφαιρικῶν. ὅθεν τὰ ἐκ τῶν αὐτῶν ἀτόμων συγκείμενα σύνθετα, ἀλλοῖα λέγουσιν ὁπόταν θέσει ἢ τάξει διαφέρουσιν αἱ τοιαῦται συντιθέμεναι ἄτομοι. ὡς γὰρ διεγνώκατον τραγῳδία, καὶ κω-

μῳδία, ἐκ τῶν αὐτῶν ὑπαρχουσαι γραμμάτων, ἀλλὰ μὴ τὴν αὐτὴν ἐχόντων τάξιν. ἐπεὶ δὲ δοκεῖ τοῖς πλείοσιν, οἷον Δημοκρίτῳ καὶ Λευκίππῳ, καὶ τοῖς ἀμφὶ τὸν Ἐμπεδοκλέα, ἕτερον εἶναι γένεσις καὶ ἀλλοίωσις, καὶ χωρίζεσθαι πράγματι, ὡς τὴν μὲν γένεσιν συγκρίσει, καὶ διακρίσει τὴν φθορὰν, ἀλλοίωσιν δὲ μεταβολῇ παθημάτων γίγνεσθαι προσβάλουσι, περὶ τούτων ἐπιστήσασι θεωρητέον, ἀπορίας γὰρ ἔχει ταῦτα, καὶ πολλὰς, καὶ εὐλόγους. εἰ μὲν γὰρ ἐστι σύγκρισις ἡ γένεσις, πολλὰ ἀδύνατα συμβαίνει, ἀναιρουμένης ἐντεῦθεν τῆς τῶν σωμάτων συνεχείας, καὶ ἐξαφανιζομένων τῶν παθῶν. ἔτι δ' αὖ λόγοι πολλοὶ δεικνύουσιν, ὡς οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ μὴ συγκρίσει τὴν γένεσιν ὁρίζεσθαι, οἵτινες ἀναγκαστικοὶ εἰσὶ, καὶ οὐ ῥᾴδιον διαλύειν. οὐ γὰρ σαθροῖς λόγοις πάντως ἐρείδεται ἡ Δημοκρίτειος δόξα, ἀλλὰ καὶ σύγκρισιν εἶναι τὴν γένεσιν δυσλύτοις ἐπιχειρήμασιν ἐμπεδοῖ, καὶ πρὸς τούτοις εἰς ἀδύνατα τοὺς ἀντιλέγοντας ἀπάγει, ὡς εἰ μὴ ἐστι σύγκρισις ἡ γένεσις, ἢ ὅλως οὐκ ἔστιν, ἢ ταυτόν ἐστι τῇ ἀλλοιώσει, καὶ τοῦτο δὲ οὐκ εὔπορον ὂν διαλυθῆναι, ἀλλ' ἰσχυρόν τε καὶ χαλεπὸν, ἀνασκευάσασθαι δὲ πειρατέον.

Ἁπάντων δὲ τῶν ἀπορουμένων ἀρχὴ ἐστὶν ἡ ζήτησις τοῦ πότερον ἀληθές ἐστι, τὰ πρῶτα μεγέθη ὑπάρχειν ἀδιαίρετα, ὥστε τῇ συγκρίσει καὶ διακρίσει, καὶ μεταταξει τούτων γίνεσθαι, καὶ ἀλλοιοῦσθαι, καὶ αὐξάνεσθαι τὰ ὄντα, καὶ τὰς ἐναντίας τούτοις πάσχειν κινήσεις, ἢ οὐδέν ἐστι μέγεθος ἀδιαίρετον; διαφέρει γὰρ τοῦτο πλεῖστον. καὶ γὰρ τῶν πρώτων σωμάτων ἀτόμων ὄντων, ἐξ ἀνάγκης κατὰ σύγκρισιν ἡ γένεσις ἀποτελεῖται, εἰ δὲ μὴ, οὐκ ἀναγκαῖον ἐστὶ συγκρίσει τὴν γένεσιν ὁρίζεσθαι. ὡσαύτως δὲ καὶ περὶ τῶν λοιπῶν μεταβολῶν εἰρήσθω. κἀκεῖνο δὲ ζητητέον, εἴπερ ἐστὶν ἄτομα μεγέθη, πότερον ὡς Δημόκριτος καὶ Λεύκιππος, σώματα ταῦτα ἐστὶν, ἢ ὥσπερ Πλάτων ἐν τῷ Τιμαίῳ ἐπίπεδα; τοῦτο μὲν οὖν αὐτὸ καθάπερ καὶ ἐν τοῖς περὶ Οὐρανοῦ εἰρήκαμεν, ἄλογον, μέχρις ἐπιπέδων διαλῦσαι τὰ σώματα, δυοῖν ἕνεκα. πρῶτον μὲν, ὅτι ἀδύνατον εἰς τοσοῦτον χωρῆσαι τὴν διάλυσιν, ὥστε καταντᾶν εἰς ἐπίπεδα, ἔπειτα μέχρι τῶν ἐπιπέδων γινομένης τῆς διαιρέσεως, τί κωλύει μὴ εἰς γραμμὰς ἀναλύειν τὰ ἐπίπεδα, καὶ ταῦτα εἰς σημεῖα; ὡς γὰρ ἔχει πρὸς τὸ σῶμα ἡ ἐπιφάνεια, οὕτω πρὸς τὴν ἐπιφάνειαν ἡ γραμμὴ, καὶ πρὸς τὴν γραμμὴν τὰ σημεῖα. διὸ δὲ μᾶλλον εὔλογον τοῦ εἰς ἐπίπεδα διαλύειν τὸ τιθέναι σώματα ἀδιαίρετα εἶναι, καίτοι τῆς τούτων θέσεως πολλὴν ἀτοπίαν ἐχούσης. ὅθεν ἡ τοῦ Δημοκρίτου δόξα καίπερ ἄλογος οὖσα καθ' ἑαυτὴν, ὅμως τῇ τοῦ Πλάτωνος θέσει παραβαλλομένη πιθανωτέρα δοκεῖ. καὶ γὰρ διὰ τῶν ἀδιαιρέτων σωμάτων, ἀλλοίωσιν, καὶ γένεσιν ἐνδέχεται



ΙΩΑΝΝΙΝΑ 2006

σῶσαι, καθάπερ εἴρηται, συγκρίσει μὲν καὶ διακρίσει τούτων γιγνομένων τε καὶ διαλυομένων τῶν ὄντων, τροπῇ δὲ καὶ διαθιγῇ ὡς Ἀβδηρικῇ φωνῇ ἔφασκε Δημόκριτος, τουτέστι μεταθέσει καὶ μετατάξει ἀλλοιουμένων, καὶ μετακινουμένων, καὶ ταῖς τῶν σχημάτων διαφοραῖς, καθάπερ καὶ ποιοῦσιν οἱ ἀμφὶ Δημόκριτον, διὰ τοῦτο χροιὰν οὐ λέγουσιν εἶναι, ἀλλὰ θέσει χρωματίζεσθαι τὰ πράγματα, ὡς συμβαίνει περὶ τὸν τῆς περιστερᾶς τράχηλον, τῇ θέσει μεταβάλλοντα τὴν χροιάν. τοῖς δὲ εἰς ἐπίπεδα διαιροῦσι τὰ σώματα, οὐκ ἔτι δυνατὸν οὐδὲ γένεσιν, οὐδὲ ἀλλοίωσιν σῶσαι. πῶς γὰρ ἂν κατ᾽ αὐτοὺς γίγνοιτό τι πλὴν στερεὰ συντιθεμένων κατὰ πλάτος τῶν ἐπιπέδων; αἱ γὰρ ἐπιφάνειαι οὐδὲν ἄλλο πεφύκασι ποιεῖν, ἢ σῶμα, ἀλλοίωσιν δὲ οὐδ᾽ ὅλως, ὡς οὐδὲ ἐγχωροῦσι πάθος γίνεσθαι οὐδὲν ἐξ αὐτῶν. ἡ γὰρ ἀλλοίωσις μεταβολή ἐστι κατὰ πάθος. κἂν γοῦν φαινομένων τῆς αὐτῆς ἠρεμούσης οὐσίας, αἴτιον δὲ τοῦ ἐπ᾽ ἔλαττον δύνασθαι συνιδεῖν τὰ λεγόμενα, καὶ ἀσθενέστερα προβάλλεσθαι τὸν Πλάτωνα, ἡ ἀπειρία. διὸ ὅσοι συνῳκήκασι μᾶλλον ἐν τοῖς Φυσικοῖς, καὶ ἐν θεωρίᾳ, καὶ πείρᾳ τούτων εἰσί, μᾶλλον δύνανται τοιαύτας τῶν φύσει συνεστώτων ἀρχὰς ὑποθέσθαι, δι᾽ ὧν ἐπὶ πολὺ δύνανται τὰ λεγόμενα ἐμπεδοῦσθαι, καὶ συμπλέκεσθαι ταῖς ἀρχαῖς, καὶ μὴ πάμπαν ἀσύγκλωσα φαίνεσθαι. ὅσοι δὲ ἐκ τῶν τοπικῶν ἐπιχειρημάτων, καὶ αὐτῆς τῆς Διαλεκτικῆς ὁρμῶσιν εἰς τὸ φυσιολογεῖν, τῶν ὑπαρχόντων ὄντες ἀπείρατοι, ἐμβλέψαντες εἰς ὀλίγα, ῥᾶον θεσπίζουσι, καὶ ἀποφαίνονται, ὅτι ἂν αὐτοῖς δόξῃ, ἐξ ὅτι φανερὸν ἐστὶν ἥν τινα διαφορὰν ἔχουσι πρὸς ἀλλήλους οἱ ἐκ Φυσικῶν ἀρχῶν, καὶ αἰσθητῶν πραγμάτων, ἢ λογικῶν, περὶ τῶν ὄντων σκοπεῖν ἐπιχειροῦντες. καὶ μὲν περὶ τοῦ ἄτομα εἶναι μεγέθη, οἱ μὲν ἀμφὶ τὸν Πλάτωνα φασὶν, ὡς εἰ οὐκ ἔστι μέγεθος ἄτομον τὸ αὐτὸ τρίγωνον, ἤτοι ἡ τοῦ τριγώνου ἰδέα, μέγεθος ὂν, ἔσται πολλὰ καὶ διαιρετὸν, ἀδύνατον δὲ τὸ αὐτὸ τρίγωνον διαιρεῖσθαι, εἴη γὰρ πρότερα τοῦ αὐτοτριγώνου τὰ εἰς ἃ διαιρεῖται, ἔστιν ἄρα τινὰ μεγέθη ἀδιαίρετα. ὁ δὲ λόγος οὗτος πόρρωθεν εἴληπται, καὶ λογικῶς συμπεραίνει. Δημόκριτος δ᾽ αὖ ἔοικεν ἐρηρεῖσθαι λόγοις Φυσικοῖς καὶ οἰκείοις τῇ φύσει, δῆλον δὲ ἔσται ὃ λέγομεν προϊοῦσιν. ἔχει γὰρ ἀπορίαν χαλεπήν τινα καὶ ἰσχυράν. εἰ γὰρ οὐκ ἔστι μέγεθος ἀδιαίρετον, ὑποθετέον τὸ σῶμα καὶ τὸ μέγεθος εἶναι πάντῃ διαιρετὸν, καὶ τοῦτο δυνατὸν ἐνεργείᾳ γενέσθαι, τοῦ γὰρ πάντῃ διαιρετοῦ μέρος οὐδὲν τὴν διαίρεσιν διαφεύγει. εἰ γὰρ τὸ μέγεθος πάντῃ διαιρετὸν, καὶ τοῦτο δυνατὸν ἐνεργείᾳ γενέσθαι, εἴτε τὸ μέγεθος ἅμα τεθείη πάντῃ διῃρημένον, εἰ καὶ μὴ, ἅμα τοῦτο διῄρηται. εἰ δὲ τοῦτο γένοιτο, ψεῦδος μὲν ἴσως ἂν εἴη, ἀδύνατον δὲ οὐδὲν, τὸ γὰρ δυνατὸν ὑποτιθέμενον ἐκβεβηκὸς ἐνεργείᾳ, οὐκ ἄτοπον. οὐκοῦν γινομένης



ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΣΗ ... Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

τῆς διαιρέσεως, εἰ μὴ πάντη διῄρηται, ἕκαστον τῶν διαιρεθέντων μερῶν ὡσαύτως κατὰ τὸ μέσον διῃρήσθω, καὶ αὖθις πολλάκις, εἰ πάντη πέφυκε διαιρεῖσθαι. κἂν διαιρεθῇ πάντη, οὐδὲν ἔσται ἀδύνατον γεγονὸς, τοῦ δυνατοῦ ὑποτεθέντος ἐν ἐνεργείᾳ ἐκβεβηκέναι, καὶ γὰρ οὐδ᾽ ἂν εἰς μόρια μυριάκις διῃρημένα ᾖ, οὐδὲν ἀδύνατον, καίτοι ἴσως οὐδεὶς ἂν ἐνεργείᾳ διέλῃ, ἀλλ᾽ ὑποκείσθω διῃρημένον, καὶ ἐπειδὴ πάντη διαιρετόν ἐστι τὸ σῶμα, διῃρήσθω τῷ νῷ, τί οὖν ἐστὶ λοιπὸν διῃρημένου πάντη που τοῦ πάντη διαιρετοῦ, ἢ μέγεθος ἀδιαίρετον, ἢ διαιρετὸν, ἢ οὐδὲν, ἢ σημεῖα; ἀλλ᾽ οὐχ οἷόν τε ὑπολειφθῆναι μέγεθος διαιρετὸν, ἔσται γάρ τι οὐ διῃρημένον, ὑπέκειτο δὲ πάντη διῃρεῖσθαι τὸ πάντη διαιρετὸν, εἰ δὲ τὸ ληφθὲν οὐκ ἔσται σῶμα, οὐδὲ μέγεθος, ἀλλὰ διαίρεσις εἰς σημεῖα, ἐκ σημείων καὶ συγκείσεται, καὶ ἀμεγέθη ἔσται τὰ ἐξ ὧν συντίθεται τὰ σώματα, τοῦτο δὲ ἀδύνατον ὡς εἰρήσεται, ἢ παντάπασιν οὐδὲν ἔσται λοιπὸν, ὥστε τὸ γινόμενον ἐκ μηδενὸς γίγνοιτο, καὶ ἐκ μηδενὸς συντεθείη, καὶ τὸ πᾶν ἔσται οὐδὲν, ἀλλ᾽ ἢ φαινόμενον. ὅτι δὲ ἐκ σημείων συγκεῖσθαι ἀδύνατόν ἐστι, δῆλον· καὶ γὰρ οὐκ ἔσται ποσὸν, οὐδὲ μέγεθος. ὁπότε γὰρ ἥπτοντο ἐν ἑνὶ μεγέθει, καὶ ἓν ἦν μέγεθος ἐξ ἀμερῶν, κἂν πάντα τὰ σημεῖα εἰς ἓν συνάγοιτο, οὐδὲν ἐποίουν μεῖζον τὸ πᾶν, ἀλλὰ καὶ αὐτὸ ἀμερὲς ἦν καὶ ἀδιαίρετον. τοῦ γὰρ μείζονος εἰς δύω καὶ πλείω διαιρεθέντος, ἐλάττω ἔσται τὰ μέρη, καὶ πάλιν συντεθέντων τῶν μερῶν, μεῖζον ἔσται τὸ ἐκ τούτων. τοῦ δὲ ἐκ σημείων συγκειμένου, οὔτε διαιρουμένου τοῦ παντὸς, ἐλάττω γίγνεται τὰ μέρη, οὔτε τῶν μερῶν συντεθέντων τὸ πᾶν μεῖζον ἐστὶν, ἀλλὰ κἂν πάντα τὰ σημεῖα ἀλλήλοις συντεθῶσιν, οὐδὲν ποιήσουσι μέγεθος. οὔτε γὰρ ἡ προσθήκη τῶν ἀμερῶν αὔξησιν ἀπεργάζεται, οὐδὲ ἡ ἀφαίρεσις μεγέθους μείωσιν. οὐ μὴν ἀλλὰ καὶ εἴ τις ἐρεῖ, ὅτι διαιρουμένου τοῦ σώματος, οἷον ἔκπρισμα γίνεται, καὶ οὕτω τὸ μέγεθος καταναλισκόμενον ἔλαττον γίγνεται ἀποῤῥυέντος τινὸς, ὁ αὐτὸς ἔσται λόγος. ἐκεῖνο γὰρ τὸ ἔκπρισμα πῶς ἕξει; εἰ γὰρ διαιρετόν ἐστιν, ὑποτιθέσθω διαιρεῖσθαι, εἰ δὲ μὴ σῶμα, καὶ διὰ τοῦτο οὐδὲ διαιρεῖσθαι δυνατόν. ἀλλὰ φαίη τις τὸ μέγεθος ἐκ σημείων συγκείμενον ἐν τῇ συνθέσει εἶδός τι χωριστὸν, καὶ πάθος προσλαβεῖν τὸ διαιρετὸν εἶναι, τοῦτο δὲ χωριστόν ἐστι τῶν σημείων, ὃ τοῦ μεγέθους διαλυθέντος, οὐκ ἔτι μένει, ἀλλὰ χωρίζεται, ὥστε πάλιν ἔσεται τὸ μέγεθος σημεῖα, ἢ ἁφὰς εἶναι, τὸ δὴ παθούσας, καὶ ἀληθεύειν τὸ μὴ ἐκ μεγεθῶν μέγεθος εἶναι, καίτοι μεγίστην ἔχον ἀτοπίαν. ἔτι δὲ ποῦ ἔσονται τὰ τοιαῦτα ἄτομα; οὐ γὰρ ἐν τόπῳ τεθῆναι δυνατὸν, ὡς μὴ διάστασιν ἔχοντα, καὶ ἀκίνητα ἔσται, ἢ κινούμενα; ἄμφω δὲ ταῦτα οὐκ ἐνδέχεται. διὰ γὰρ

ἀκι-

ΙΩΑΝΝΙΝΑ 2006

ἀκινησίας οὔτ᾽ ὑποχωρεῖν διαιρούμενα, οὔτε συνιέναι συντιθέμενα δυνατόν, ἀλλ᾽ οὐδὲ κινεῖσθαι λέγοιτ᾽ ἄν, τὸ γὰρ κινούμενον ἐξ ἀνάγκης σῶμα ἐστὶ διαιρετόν. προσέτι ἀεὶ μία ἐστὶν ἁφὴ δυοῖν τινων ἁπτομένων, τὰ γὰρ ἁπτόμενα ἕτερά εἰσι παρὰ τὴν ἁφὴν, καὶ τὴν διαίρεσιν, καὶ τὸ πέρας καθὸ ἅπτεται, ἡ γὰρ ἁφὴ καὶ διαίρεσις κατὰ τὸ αὐτὸ γίνεται πέρας. εἰ δή τις θήσεται ὁτιοῦν ἢ ὁπηλικονοῦν σῶμα εἶναι πάντῃ διαιρετὸν, καὶ δύναται διαιρεῖσθαι εἰς τὰ ἐξ ὧν συνετέθη, πάλιν ταῦτα πάντα συμβαίνει, δηλαδὴ ἐνδέχεσθαι ἐκ τῶν σημείων, ἐξ ὧν συγκεῖσθαι ἀνάγκη τὸ πάντῃ διαιρετὸν, μέγεθός τι συντεθῆναι, ἀλλ᾽ ἐπειδὴ τὰ ἁπτόμενα ἕτερά εἰσι παρὰ τὴν ἁφὴν, καὶ τὸ σημεῖον, ἀναγκαῖον ἀεὶ ἐστι μεταξὺ σημείων ἄλλο τι παρατεθεῖσθαι ἀδιαίρετον μὲν ὂν, μέρη δὲ ἔχον, οἷς ἂν ἅπτοιτο τῶν ἑκατέρωθεν, τὰ γὰρ σημεῖα οὐ δύνανται ἀλλήλων ἅπτεσθαι, ὡς οὐκ ἔχοντα μέρος μὲν καθ᾽ ὃ ἅπτοιντο, μέρος δὲ καθ᾽ ὃ μένωσι παρὰ τὴν ἁφήν. ἔτι ἐὰν διελῶν τι μέγεθος, οἷον τὸ ξύλον, ἔτι ἄλλο, ἔπειτα συνθῶ τὸ συντεθὲν, ἴσον τε καὶ ἓν ἔσται τῷ ἐξ ἀρχῆς διαιρεθέντι, τοῦτο δὲ ἀδύνατον, οὐδὲ γὰρ κἂν πάντα τεθῶσι τὰ σημεῖα οὐδὲν ποιήσουσι μέγεθος, οὐκ ἄρα εἰς σημεῖα διαιρεῖται τὰ σώματα. ὅτι δὲ δυνατόν ἐστιν εἰς σημεῖα διαιρεθῆναι τὸ σῶμα, εἰ ἐκ σημείων σύγκειται, φανερὸν, κἂν τέμω τὸ ξύλον καθ᾽ ὁτιοῦν σημεῖον, ἔστι δὲ τοῦτο πάντῃ διαιρετὸν, πάντῃ ἄρα διῄρηται δυνάμει, εἰ δὲ δυνάμει καὶ ἐνεργείᾳ, ὅτι τὸ δυνατὸν οὐκ ἀδύνατον εἰς ἐνέργειαν ἐκβῆναι. τί οὖν ἐστι διαλυθέντος τοῦ σώματος παρὰ τὰ σημεῖα, οὐ γὰρ δυνατόν ἐστιν εἰπεῖν, ὅτι ἐν τῷ ξύλῳ ἐστί τι πάθος, καθ᾽ ὃ διαιρεῖσθαι πέφυκε, παρὰ τὰ συντιθέντα σημεῖα. ἀδύνατον γὰρ ἐστὶν ἀποδῦναι πᾶν τὸ ξύλον εἰς σημεῖα, καὶ πάθος διαλύεται, καὶ γίγνεται ἐκ πάθους καὶ σημείων, ἢ πῶς χωρίζεται τὸ πάθος τῶν σημείων. ὥστε λείπεται ἐξ ἁφῶν, ἢ σημείων εἶναι τὰ μεγέθη. τοῦτο δὲ ἀδύνατον τοῖς τε ἄλλοις, καὶ ὅτι διαλυθὲν τὸ ξύλον, καὶ πάλιν συντεθὲν οὐκ ἂν γένοιτο ἴσον αὐτῷ. ἄρα ἀνάγκη εἶναι σώματα καὶ μεγέθη, εἰς ἃ διαιρεῖται τὰ ὄντα. καὶ γὰρ εἰς τέτταρα τὴν διάλυσιν ἐλέγετο γενέσθαι δυνατὴν, ἢ εἰς διαιρετὰ μεγέθη, ἢ ἀδιαίρετα, ἢ οὐδὲν, ἢ σημεῖα. ἀλλαμὴν ἀποχρώντως ἀνασκευάσαι ἡ εἰς διαιρετὰ μεγέθη διαίρεσις, ἢ εἰς οὐδὲν, ἢ εἰς σημεῖα, λείπεται ἄρα τὰς ἀρχὰς, ἐξ ὧν σύγκειται τὰ πράγματα, σώματα εἶναι, καὶ μεγέθη ἀδιαίρετα. καὶ οὕτω πιθανώτερον μὲν τοῦ Πλάτωνος ὁ Δημόκριτος ἐπιχειρεῖ, καὶ Λεύκιππος. ἀλλαμὴν καὶ ταῦτα τιθεμένοις οὐχ ἧττον συμβαίνει ἀδύνατον, ὡς ἡμῖν ἔσκεπται περὶ αὐτῶν ἐν τῷ τρίτῳ περὶ οὐρανοῦ, καὶ ζ΄. τῆς Φυσικῆς Ἀκροάσεως, καὶ ἱκανῶς ἀνετράπη λόγοις ἀποδεικτικοῖς, ἀλλὰ κἀνταῦθα τὰς προκειμένας ὑποθέσεις

λύειν πειρατέον. καὶ πάλιν ἐξ ἀρχῆς λεκτέον τὴν τοῦ Δημοκρίτου ἔνστασιν.

## Λύσις.

Τὸ μὲν οὖν ἅπαν σῶμα φυσικὸν εἶναι διαιρετὸν, καθ' ὁτιοῦν μόριον, καὶ ἀδιαίρετον οὐδὲν ἄτοπον. δυνάμει γὰρ ἔσται πάντη διαιρετὸν ὡς ἐπιδεχόμενον τὴν τομὴν καθ' ὁτιοῦν μέρος, ἐντελεχείᾳ δὲ μηδέποτε ὑπάρξει πάντη διῃρημένον, ἀλλ' ἀδιαίρετον. ὥσπερ καὶ τὸν ἄνθρωπον πάσης φαμὲν ἐπιστήμης δεκτικὸν, ὅτι δύναται ἁπασῶν ἀδιαφόρως καταλήψεται, καί τοι μὴ πάσας ἅμα κατορθοῦν ἐνδέχεται. τὸ δὲ εἶναι ἅμα πάντη διαιρετὸν δυνάμει ἀδύνατον δόξειεν ἄν. ἕκαστον γὰρ εἰς ἐνέργειαν ἢ δυνάμεως ἔχει ἐκβήσεσθαι δυνατόν. καὶ οὕτως τὸ πάντη διαιρετὸν ἐνενοηκὼς ὁ Δημόκριτος, οὐχ ὡς κατὰ διαδοχὴν τμηθῆναι δυνάμενον, ἀλλ' ὡς ἅμα πάντη διαιρεθῆναι οἷόν τε ὂν, ἢ πάντη διαιρετὸν, τὴν αὐτοῦ δόξαν ἐμπεδοῦν ᾤετο. ὅτι τὸ διαιρετὸν ἐκ μεγεθῶν ἀδιαιρέτων συντίθεται. εἰ γάρ φησι δυνάμει ἅμα πάντη διαιρετὸν, καὶ ἐνεργείᾳ κείσθω πάντη διῃρημένον, οὐχ ὥστε εἶναι ἅμα ἄμφω ἐντελεχείᾳ, ἀδιαίρετον μὲν ὡς λέγεται, διῃρημένον δὲ ὡς ὑπόκειται, ταῦτα γὰρ ἀντίφασιν ἔχει, ἀλλὰ καθ' ὁτιοῦν σημεῖον διῃρημένον. τούτου δὲ τεθέντος ταῦτα συμβαίνει, ὅτι ἢ οὐδὲν ἔσται λοιπὸν, ἢ εἰς ἀσώματον διαλυθήσεται τὸ σῶμα. ἀσώματα γάρ εἰσι τὰ σημεῖα. ἀλλὰ μὴν φανερὸν ὅτι γε διαιρεῖται εἰς χωριστὰ, καὶ ἀεὶ εἰς ἐλάττω μεγέθη ὑφιστάντα τε καὶ διεστῶτα, ὥστε οὐκ εἰς οὐδὲν ἡ διάλυσις, οὔτε δὴ τῷ διαιροῦντι κατὰ μέρος δυνατὸν ἐπ' ἄπειρον τέμνειν, οὔτε ἅμα οἷόν τε διαιρεθῆναι πάντη, ὡς ἔδει ποιῆσαι εἰς τὰ σώματα, εἰς ἀεὶ διαιρετὰ τέμνεται, τοῦτο δὲ ἀδύνατον. ἀλλ' ἀνάγκη μέχρι τινῶν καταντῆσαι τὴν διαίρεσιν, ἃ μεγέθη ὄντα ἄτομά ἐστι, καὶ ἀόρατα ὑπὸ λεπτότητος φεύγοντα τὴν ὅρασιν, πολλῷ μᾶλλον τῶν ἐν ἀέρι κονιορτωδῶν ψηγμάτων, καὶ ταῦτα ἀρχαί εἰσι τῶν πραγμάτων, ὡς συγκειμένων ἐκ τούτων, καὶ εἰς ταῦτα διαλυομένων, καὶ μάλιστα εἴπερ ἐστὶ γένεσις, καὶ φθορά. ἡ μὲν γὰρ διακρίσει τῶν ἀτόμων, ἡ δὲ συγκρίσει ὁρίζεται.

Ὁ μὲν οὖν λόγος ὁ τοῦ Δημοκρίτου ὁ δοκῶν ἀναγκάζειν εἶναι μεγέθη ἄτομα οὗτός ἐστιν, ὅτι δὲ λανθάνει παραλογιζόμενος, καὶ ᾗ λανθάνει λέγομεν, τὸ γὰρ σημεῖον σημείου ἐχόμενον ἦν, καὶ ἐκ τούτων συνέκειτο τὸ σῶμα ἦν ἂν πάντη διαιρετόν. ἐπεὶ δὲ σημείου οὐχ ἅπτεται σημεῖον, σκεπτέον τίνα τρόπον τὸ πάντη εἶναι διαιρετὸν ὑπάρχει τοῖς σώμασιν, ἔστι μὲν γὰρ ὡς ὑπάρχει τοῖς μεγέθεσιν, ἔστι δ' ὡς οὔ, δοκεῖ γε ὅμως ὅ-

ταν

ται τεθῇ τὸ σῶμα ὁπηοῦν, καὶ πάντῃ, τουτέστι καθ' ὁτιοῦν σημεῖον διαιρετὸν εἶναι, ἐξ ἀνάγκης ἐκ σημείων συγκεῖσθαι, καὶ ὁπηοῦν, καὶ πάντῃ σημεῖον εἶναι, ὥστε ἀναγκαῖον εἶναι διαιρεθῆναι τὸ μέγεθος, ἢ εἰς μηδέν, οὐ γὰρ ὡς ἀεὶ ἐλάττω μεγέθη τὴν τομὴν γενέσθαι δυνατόν, πάντῃ γὰρ εἶναι τίθεται σημεῖον, ἢ ἐξ ἁφῶν καὶ σημείων συντίθεσθαι τὰ σώματα, καὶ εἰς ταῦτα διαλύεσθαι, ἀλλὰ τὸ πάντῃ ὑπάρχειν σημεῖον ἀληθές ἐστιν, ὅτι ὑπάρχει πάντῃ δυνάμει, καὶ γὰρ ὁπηοῦν ἡ τομὴ γένοιτο μία ἐστὶ μεταξὺ δυοῖν μεγεθῶν, καὶ πᾶσαι ὅσαι δυναταὶ ὡς ἑκάστη, καὶ γὰρ ἐπειδὴ καθ' ὁτιοῦν μόριον δυνατόν ἐστι τὴν τομὴν ποιήσασθαι, πάντα τὰ σημεῖα δυνάμει εἰσί, καὶ μεταξὺ δυοῖν μεγεθῶν ὡς ἑκάστη, καὶ οὐχ ἅμα πᾶσαι ἐνεργείᾳ, οὔτε γὰρ ἅμα πάντῃ διαιρετόν ἐστι τὸ συνεχές, ὥστε ἅμα καθ' ὁτιοῦν σημεῖον διῃρημένου πάντῃ πεπάχθαι σημεῖον, ὥστε ἔχεσθαι ἀλλήλων, ὅθεν πλείω οὐδὲ ἐφεξῆς οὐκ εἰσὶ τεττόμενα, ἀεὶ γὰρ παρεντίθεται μέγεθος μεταξύ. εἰ γὰρ κατὰ μέσον δυοῖν σημείων διαιρετὸν εἴη τὸ συνεχές, ἔσται διαιρετὸν καὶ κατ' ἐχόμενον σημεῖον, τοῦτο δὲ ἀδύνατον, οὐ γάρ ἐστιν ἐχόμενον σημεῖον σημείου, ὅτι ἀμερῆ ταῦτα, τὸ δὲ ἁπτόμενον ἐξ ἀνάγκης ἔχεται κατά τι μέρος αὐτοῦ. τοιγαροῦν οὐχ οὕτω δυνατόν ἐστι πάντῃ γενέσθαι τὴν τομήν, ὥστε καὶ πᾶν ἢ σημεῖον ὑπάρχειν ἐνεργείᾳ, καὶ τήν τε σύνθεσιν ἐκ σημείων γίνεσθαι, καὶ τὴν διαίρεσιν εἰς σημεῖα. ἀλλ' ὥσπερ τὸ πάντῃ διαιρετὸν δυνάμει ἐστίν, ὥστε μὴ μᾶλλον κατὰ τόδε, ἢ τόδε, τὸ σημεῖον τμητὸν εἶναι, οὕτω καὶ τὰ σημεῖα δυνάμει εἰσί, κατ' αὐτὰ γὰρ ἡ τομὴ γίνεται. ἐπειδὴ δὲ αὐτὸ τὸ συνεχὲς οὐχ οὕτω διαιρετόν ἐστιν, ὥστε κατὰ τουτί, καὶ κατὰ τὸ ἑξῆς μέρος διαιρεῖσθαι δυνάμενον, κατ' ἀμφότερα ἐνεργείᾳ δύναται τμηθῆναι, ἀμέσως, ἀλλὰ τῆς τομῆς γενομένης τοῦ ἡγουμένου μέρους, ἡ τοῦ ἑξῆς ἑπομένου διαίρεσις οὐκ ἂν γένοιτο ἐνεργείᾳ, διὰ τὸ μεταξὺ ἀεὶ παραλείπεσθαι μέγεθος. ὅθεν ἡ σύνθεσις, καὶ ἡ διαίρεσις, τουτονὶ τὸν τρόπον γίνεται ἀεὶ μεταξὺ τῶν σημείων παρατιθεμένου μεγέθους, ὥστε ἐστὶ μὲν σύγκρισις καὶ διάκρισις, ἀλλ' οὔτε εἰς ἄτομα, οὔτε ἐξ ἀτόμων, πολλὰ γὰρ τὰ ἄτοπα ἕπεται, οὔτε οὕτως ὥστε πάντῃ τὴν διαίρεσιν γενέσθαι ἐνεργείᾳ, ὡς καὶ δυνάμει πάντῃ διαιρετόν, καὶ γὰρ δυνάμει ὁπηοῦν, καὶ πάντῃ ἡ τομὴ ἐνδέχεται γίνεσθαι, ἐνεργείᾳ δὲ ἀνάγκη παραλείπειν ἀεί τι μέγεθος, εἰ δὲ πάντῃ ἅμα ἡ διαίρεσις γένοιτο, εἴη ἂν σημεῖον σημείου ἐχόμενον. ἀλλὰ καὶ ἡμεῖς ἀποδεχόμεθα τὴν ἐκ μειζόνων εἰς μικρὰ καὶ ἐλάττω διάκρισιν, καὶ τὴν ἐξ ἐλαττόνων εἰς μεγάλα καὶ μείζω σύγκρισιν, οὐ μὴν οὔτε τὴν διάκρισιν κυρίως εἶναι φθοράν, οὔτε τὴν σύγκρισιν ἁπλῆν καὶ τελείαν γένεσιν ὥς φασιν οἱ ἀμφὶ Δημόκριτον πᾶσαν τὴν ἐν τῷ συνεχεῖ καὶ τῷ ὅλῳ γενομένην μεταβολὴν ἀλλοίωσιν ὀνομάζοντες. τῷ γὰρ οἴεσθαι τοῦτο

σφάλλεται πάντα, ἡ γὰρ ἁπλῆ γένεσις καὶ φθορὰ οὐ συγκρίσει καὶ διακρίσει γίνεται τῶν ἀτόμων μορίων, ἀλλ' ὅταν μεταβάλλῃ τι ὅλον ἐκ τοῦδε εἰς τόδε, οἱ δὲ παραλογιζόμενοι, καὶ τοῦ ἀληθοῦς ἁμαρτάνοντες πᾶσαν ἐν τῷ συνεχεῖ μεταβολὴν ἀλλοίωσιν οἴονται. καὶ γὰρ οὐκ ἀεὶ γένεσις καὶ φθορὰ γίνεσθαι συγκρίσει, καὶ διακρίσει, ὥστε καὶ τούτοις ὁρίζεσθαι. τὸ γὰρ ὕδωρ οὐδενὸς διακριθέντος εἰς ἀέρα τὰ πολλὰ μεταβάλλεται, ἀλλὰ μᾶλλον ἀεὶ γένεσις ἐστὶ καὶ φθορά, ὅταν ἐκ τοῦδε μεταβάλλῃ ἐς τόδε τὸ συνεχές. πλεῖστον οὖν διαφέρει γνῶναι πότερον πᾶσα ἡ ἐν ὅλῳ μεταβολὴ ἀλλοίωσις ἐστὶν ὥς φασιν οὗτοι, ἢ ἐστὶν ὅτε καὶ γένεσιν καὶ φθορὰν ῥητέον τὴν τοῦ ὅλου μεταβολήν, φανερὸν γάρ ἐστιν, ὅτι ἡ τοῦ ὅλου μεταβολή, καὶ ἐκ τοῦδε εἰς τόδε γένεσις ἐστὶ καὶ φθορά, ὅταν γίγνηται μεταβολὴ κατά τε τὸν λόγον καὶ κατὰ τὴν ὕλην. ἐν γὰρ τῷ ὑποκειμένῳ τῆς μεταβολῆς τριῶν τούτων ὄντων, λόγου ἤτοι εἴδους, ὕλης, καὶ παθῶν, ὅταν ἐκ τοῦδε τοῦ εἴδους εἰς τόδε μεταβάλλῃ ἡ ὕλη, γένεσις ἔσται καὶ φθορά, ὅταν δὲ ἐν τοῖς πάθεσι, καὶ κατὰ συμβεβηκός, ἀλλοίωσις. διακρινόμενα δὲ καὶ συγκρινόμενα τὰ πράγματα οὐ γίγνεται, οὐδὲ φθείρεται. τοῦ γὰρ ψιμμυθίου ὁπόσα αὖ διακρίνῃς μόρια, πάλιν τὸ λοιπὸν ψιμμύθιον ἔσται, καὶ ὅσα αὖ συγκρίνῃς, οὐδὲν ἢ ψιμμύθιον ποιήσῃς αὐξανόμενον, ἢ μειούμενον ταῖς κινήσεσι ταύταις, ἀλλ' οὐ γινόμενον, οὔτε φθειρόμενον. καί τοι οἱ ἀμφὶ Δημόκριτον ἠπατήθησαν ἐκ τούτου, ὅτι σύγκρισις καὶ διάκρισις συμβάλλονται τῇ γενέσει καὶ τῇ φθορᾷ. καὶ γὰρ διαχυθὲν καὶ διακριθὲν ὕδωρ θᾶττον ἐξαεροῦται ὡς τὸ ἐπὶ τραπέζης καταχυθὲν ὕδωρ ὀλίγον τάχιον εἰς ἀέρα μεταβάλλεται τοῦ ἐν ἀγγείῳ, εὐπαθέστερον γὰρ γίνεται, τὴν τοῦ ποιοῦντος ἐνέργειαν πάντῃ δεχόμενον, ὁ δὲ ἀὴρ πυκνωθείς, καὶ συγκριθεὶς ῥᾷον ἐξυδατοῦται. ταῦτα δὲ μᾶλλον ἔσται δῆλον ἐν τοῖς ὕστερον. νῦν δὲ τοσοῦτον διωρίσθω, ὅτι ἀδύνατον εἶναι τὴν γένεσιν σύγκρισιν ἐξ ἀτόμων, ὡς ἔφασκε Δημόκριτος καὶ Λεύκιππος.

## Πόρισμα.

Σημειωτέον τοιγαροῦν, ὅτι δεῖ τοὺς φυσιολογοῦντας ἐν αὐτοψίᾳ γενέσθαι τῶν πραγμάτων, καὶ οἷον ἐνῳκηκέναι τῇ φύσει, ἀλλὰ μὴ οἴκοθεν ἐπιχειρεῖν ἀποφαίνεσθαι περὶ τούτων. συμβαίνει γὰρ τοὺς τοιούτους πόρρω διαμαρτεῖν τῆς ἀληθείας, μὴ πάμπαν ἐξακριβοῦσι τὰς τῆς φύσεως ἰδιότητας. ἔτι δὲ καὶ ἐν ἑκάστῃ τῶν ἐπιστημῶν τοῖς οἰκείοις ἀεὶ χρῆσθαι λόγοις, καὶ μὴ κιχρᾶν ἑτέρωθεν τὰς τῶν λεγομένων ἐμπεδώσεις, καὶ κατασκευάς. διὸ δὴ τῆς φύσεως τῶν πραγμάτων ἥψαντο μᾶλλον, ὅ-



Ε.Υ.Δ. … ΙΩΑΝΝΙΝΑ 2006

σοιπερ ἐκ τῶν οἰκείων ἀρχῶν τὴν περὶ τούτων σκέψιν παρέλαβον. Ἰστέον ὅτι τὰ σημεῖα πολλοῖς ὀνόμασι προσαγορεύονται, κατὰ τὸν διάφορον τῆς θεωρίας λόγον. ὁρίζοντα γὰρ τὸ συνεχὲς πέρατα λέγονται, ἁφαὶ δὲ, ὡς συνάπτοντα τὰ μεγέθη, καὶ ποιοῦντα τὴν σύνθεσιν, διαιρέσεις δὲ, ὅτι καθ' αὐτὰ ἡ τομὴ γίνεται, σημεῖα δὲ, ὅτι οὐχ ὑπάρχουσι καθ' ἑαυτὰ, ἀλλ' ἐν τῷ συνεχεῖ, καὶ διὰ τοῦτο οὔτε ληπτά εἰσι καθ' ἑαυτὰ, ἀλλ' ὡς ἕτερόν τι σημαίνοντα, ἀμερῆ δὲ καὶ ἄτομα, ὅτι τούτων οὐδὲν ἔστι μέρος.

## Ἐπεισόδιος θεωρία περὶ τῶν ἐν Φιλοσοφίᾳ Αἱρέσεων, καὶ τῆς παρ' ἀρχαίοις ποικιλίας τῶν δογμάτων.

ΕΙ καὶ σμικρὸν ἀποπλανησόμεθα τῆς προκειμένης μελέτης, ἀλλ' ὅμως πλείστην ὑμῖν ὠφέλειαν ὑπισχνοῦμαι, εἰ μετ' ἀκριβείας ἐπισκοπήσωμεν περὶ τῶν ἀρεσκόντων τοῖς πάλαι Φιλοσόφοις. τοῦτο γὰρ αὐτὸ ἐδίδαξεν ἡμᾶς ὁ Σταγειρίτης ἑκασταχοῦ προτιθέμενος τὰς τῶν ἀρχαίων δόξας, καὶ τὰς περὶ τούτων ἀπορίας ἀποδείξεις εἶναι παρεγγυῶν τῶν ῥηθησομένων. ἵνα δὲ καθ' ὁδὸν ἡμῖν ἡ πραγματεία χωρήσῃ ἀποστρέψασα τὴν ἀχλὺν τοῦ λόγου, φέρε δὴ πρῶτον εἴπωμεν περὶ αἱρέσεων, ὁποῖαι τινὲς ἑαυταῖς προσηγορίαν ἐπίσημον περιέβαλον. καὶ γὰρ τοῖς ἀναγινώσκουσι τὸν Φιλόσοφον ἔστι μὲν ἰδεῖν μεγίστην τινὰ διαφορὰν καὶ ὁμοιότητα τῶν εἰρημένων τοῖς πάλαι. ταύτας δὲ διακρῖναι μετ' ἀκριβείας οὐ ῥᾴδιον ἐστὶ τοῖς ἀγνοοῦσι τὰς τῶν Φιλοσόφων αἱρέσεις, ἃς ὁ Σταγειρίτης ἢ τοῖς Ἱστορικοῖς ἐπετρέψατο, ἢ παρέλιπεν ὡς πάντη που φανερὰς οὔσας. δύω τοιγαροῦν ἦσαν ἐξαρχῆς Φιλοσόφων αἱρέσεις ἐπίσημον ἔχουσαι τὴν ὀνομασίαν, ἐπί τε τοῖς δόγμασι, καὶ ὅτι ἐξ αὐτῶν ἀνεβλάστησαν ὅσαι τινὲς εἰσέπειτα ἔρωτι Φιλοσοφίας πολλὰς ἁπανταχόθεν ἐπέσπων εἰς τὰ μαθήματα. τούτων δὲ ἡ μὲν Ἰωνικὴ, ἡ δὲ Ἰταλικὴ ἐλέγετο, ἐκ τῶν τόπων ἀμφότεραι ἐν οἷς ἤκμασαν λαβοῦσαι τὴν προσηγορίαν. ἣν δέ φησιν ἐλεατικὴν ὁ Κλήμης ἐν τῷ πρώτῳ τῶν στρωμάτων μετὰ πολλῶν ἄλλων ἐγὼ τῇ ἐξ Ἰταλίας αἱρέσει προστίθημι, ἦν δὲ τῆς Ἰωνικῆς αἱρέσεως ἔξαρχος Θαλῆς ὁ Μιλήσιος ὁ τοῖς ἑπτὰ σοφοῖς συναριθμούμενος, οὗ διάδοχος ἦν Ἀναξίμανδρος, καὶ τούτου Ἀναξιμένης, οὗ ἤκουσεν Ἀναξαγόρας, ὁ τοῦ Ἀρχελάου διδάσκαλος. ὃς εἰς Ἀθήνας πρῶτος φιλοσοφίαν εἰσήγαγεν ἀπάρας ἐξ Ἰωνίας, κἀκεῖ τὸν Σωκράτην παιδεύσας τὴν Φιλοσοφίαν τῆς τῶν Ἀθηναίων σοφίας πατὴρ ὠνομάσθη, ὁ δὲ Σωκράτης τὸ φυσιολογεῖν ἀφεστὼς, καὶ παραλιπὼν ὡς περιττὴν, καὶ ἀβέβαιον τὴν τῆς φύσεως ἔρευναν, πρῶτος εἰς ἠθῶν ἐτράπη διακόσμησιν, καὶ τῆς πρὸς τὸν βίον